# Josua 15

Septuaginta (LXX)

**1** καὶ ἐγένετο τὰ ὅρια φυλῆς ιουδα κατὰ δήμους αὐτῶν ἀπὸ τῶν ὁρίων τῆς ιδουμαίας ἀπὸ τῆς ἐρήμου σιν ἕως καδης πρὸς λίβα

**2** καὶ ἐγενήθη αὐτῶν τὰ ὅρια ἀπὸ λιβὸς ἕως μέρους τῆς θαλάσσης τῆς ἁλυκῆς ἀπὸ τῆς λοφιᾶς τῆς φερούσης ἐπὶ λίβα

**3** καὶ διαπορεύεται ἀπέναντι τῆς προσαναβάσεως ακραβιν καὶ ἐκπεριπορεύεται σεννα καὶ ἀναβαίνει ἀπὸ λιβὸς ἐπὶ καδης βαρνη καὶ ἐκπορεύεται ασωρων καὶ προσαναβαίνει εἰς αδδαρα καὶ περιπορεύεται τὴν κατὰ δυσμὰς καδης

**4** καὶ πορεύεται ἐπὶ ασεμωνα καὶ διεκβαλεῖ ἕως φάραγγος αἰγύπτου καὶ ἔσται αὐτοῦ ἡ διέξοδος τῶν ὁρίων ἐπὶ τὴν θάλασσαν τοῦτό ἐστιν αὐτῶν ὅρια ἀπὸ λιβός

**5** καὶ τὰ ὅρια ἀπὸ ἀνατολῶν πᾶσα ἡ θάλασσα ἡ ἁλυκὴ ἕως τοῦ ιορδάνου καὶ τὰ ὅρια αὐτῶν ἀπὸ βορρᾶ καὶ ἀπὸ τῆς λοφιᾶς τῆς θαλάσσης καὶ ἀπὸ τοῦ μέρους τοῦ ιορδάνου

**6** ἐπιβαίνει τὰ ὅρια ἐπὶ βαιθαγλα καὶ παραπορεύεται ἀπὸ βορρᾶ ἐπὶ βαιθαραβα καὶ προσαναβαίνει τὰ ὅρια ἐπὶ λίθον βαιων υἱοῦ ρουβην

**7** καὶ προσαναβαίνει τὰ ὅρια ἐπὶ τὸ τέταρτον τῆς φάραγγος αχωρ καὶ καταβαίνει ἐπὶ γαλγαλ ἥ ἐστιν ἀπέναντι τῆς προσβάσεως αδδαμιν ἥ ἐστιν κατὰ λίβα τῇ φάραγγι καὶ διεκβαλεῖ ἐπὶ τὸ ὕδωρ πηγῆς ἡλίου καὶ ἔσται αὐτοῦ ἡ διέξοδος πηγὴ ρωγηλ

**8** καὶ ἀναβαίνει τὰ ὅρια εἰς φάραγγα ονομ ἐπὶ νώτου ιεβους ἀπὸ λιβός αὕτη ἐστὶν ιερουσαλημ καὶ διεκβάλλει τὰ ὅρια ἐπὶ κορυφὴν ὄρους ἥ ἐστιν κατὰ πρόσωπον φάραγγος ονομ πρὸς θαλάσσης ἥ ἐστιν ἐκ μέρους γῆς ραφαϊν ἐπὶ βορρᾶ

**9** καὶ διεκβάλλει τὸ ὅριον ἀπὸ κορυφῆς τοῦ ὄρους ἐπὶ πηγὴν ὕδατος ναφθω καὶ διεκβάλλει εἰς τὸ ὄρος εφρων καὶ ἐξάξει τὸ ὅριον εἰς βααλ αὕτη ἐστὶν πόλις ιαριμ

**10** καὶ περιελεύσεται ὅριον ἀπὸ βααλ ἐπὶ θάλασσαν καὶ παρελεύσεται εἰς ὄρος ασσαρες ἐπὶ νώτου πόλιν ιαριμ ἀπὸ βορρᾶ αὕτη ἐστὶν χασλων καὶ καταβήσεται ἐπὶ πόλιν ἡλίου καὶ παρελεύσεται ἐπὶ λίβα

**11** καὶ διεκβαλεῖ τὸ ὅριον κατὰ νώτου ακκαρων ἐπὶ βορρᾶν καὶ διεκβαλεῖ τὰ ὅρια εἰς σακχαρωνα καὶ παρελεύσεται ὄρος τῆς βαλα καὶ διεκβαλεῖ ἐπὶ ιαβνηλ καὶ ἔσται ἡ διέξοδος τῶν ὁρίων ἐπὶ θάλασσαν

**12** καὶ τὰ ὅρια αὐτῶν ἀπὸ θαλάσσης ἡ θάλασσα ἡ μεγάλη ὁριεῖ ταῦτα τὰ ὅρια υἱῶν ιουδα κύκλῳ κατὰ δήμους αὐτῶν

**13** καὶ τῷ χαλεβ υἱῷ ιεφοννη ἔδωκεν μερίδα ἐν μέσῳ υἱῶν ιουδα διὰ προστάγματος τοῦ θεοῦ καὶ ἔδωκεν αὐτῷ ἰησοῦς τὴν πόλιν αρβοκ μητρόπολιν ενακ αὕτη ἐστὶν χεβρων

**14** καὶ ἐξωλέθρευσεν ἐκεῖθεν χαλεβ υἱὸς ιεφοννη τοὺς τρεῖς υἱοὺς ενακ τὸν σουσι καὶ τὸν θολμι καὶ τὸν αχιμα

**15** καὶ ἀνέβη ἐκεῖθεν χαλεβ ἐπὶ τοὺς κατοικοῦντας δαβιρ τὸ δὲ ὄνομα δαβιρ ἦν τὸ πρότερον πόλις γραμμάτων


Druckausgabe erzeugt am 02.05.2025 auf bibelkommentare.de

**16** καὶ εἶπεν χαλεβ ὃς ἐὰν λάβῃ καὶ ἐκκόψῃ τὴν πόλιν τῶν γραμμάτων καὶ κυριεύσῃ αὐτῆς δώσω αὐτῷ τὴν αχσαν θυγατέρα μου εἰς γυναῖκα

**17** καὶ ἔλαβεν αὐτὴν γοθονιηλ υἱὸς κενεζ ἀδελφὸς χαλεβ ὁ νεώτερος καὶ ἔδωκεν αὐτῷ τὴν αχσαν θυγατέρα αὐτοῦ αὐτῷ γυναῖκα

**18** καὶ ἐγένετο ἐν τῷ εἰσπορεύεσθαι αὐτὴν καὶ συνεβουλεύσατο αὐτῷ λέγουσα αἰτήσομαι τὸν πατέρα μου ἀγρόν καὶ ἐβόησεν ἐκ τοῦ ὄνου καὶ εἶπεν αὐτῇ χαλεβ τί ἐστίν σοι

**19** καὶ εἶπεν αὐτῷ δός μοι εὐλογίαν ὅτι εἰς γῆν ναγεβ δέδωκάς με δός μοι τὴν γολαθμαιν καὶ ἔδωκεν αὐτῇ χαλεβ τὴν γολαθμαιν τὴν ἄνω καὶ τὴν γολαθμαιν τὴν κάτω

**20** αὕτη ἡ κληρονομία φυλῆς υἱῶν ιουδα

**21** ἐγενήθησαν δὲ αἱ πόλεις αὐτῶν πόλις πρώτη φυλῆς υἱῶν ιουδα ἐφ' ὁρίων εδωμ ἐπὶ τῆς ἐρήμου καιβαισελεηλ καὶ αρα καὶ ασωρ

**22** καὶ ικαμ καὶ ρεγμα καὶ αρουηλ

**23** καὶ καδης καὶ ασοριωναιν

**24** καὶ μαιναμ καὶ βαλμαιναν καὶ αἱ κῶμαι αὐτῶν

**25** καὶ αἱ πόλεις ασερων αὕτη ασωρ

**26** καὶ σην καὶ σαλμαα καὶ μωλαδα

**27** καὶ σερι καὶ βαιφαλαδ

**28** καὶ χολασεωλα καὶ βηρσαβεε καὶ αἱ κῶμαι αὐτῶν καὶ αἱ ἐπαύλεις αὐτῶν

**29** βαλα καὶ βακωκ καὶ ασομ

**30** καὶ ελβωυδαδ καὶ βαιθηλ καὶ ερμα

**31** καὶ σεκελακ καὶ μαχαριμ καὶ σεθεννακ

**32** καὶ λαβως καὶ σαλη καὶ ερωμωθ πόλεις καὶ αἱ κῶμαι αὐτῶν

**33** ἐν τῇ πεδινῇ ασταωλ καὶ ραα καὶ ασσα

**34** καὶ ραμεν καὶ τανω καὶ ιλουθωθ καὶ μαιανι

**35** καὶ ιερμουθ καὶ οδολλαμ καὶ μεμβρα καὶ σαωχω καὶ αζηκα

**36** καὶ σακαριμ καὶ γαδηρα καὶ αἱ ἐπαύλεις αὐτῆς πόλεις δέκα τέσσαρες καὶ αἱ κῶμαι αὐτῶν

**37** σεννα καὶ αδασαν καὶ μαγαδαγαδ

**38** καὶ δαλαλ καὶ μασφα καὶ ιακαρεηλ

**39** καὶ λαχης καὶ βασηδωθ καὶ ιδεαδαλεα

**40** καὶ χαβρα καὶ μαχες καὶ μααχως

**41** καὶ γεδδωρ καὶ βαγαδιηλ καὶ νωμαν καὶ μακηδαν πόλεις δεκαὲξ καὶ αἱ κῶμαι αὐτῶν

**42** λεμνα καὶ ιθακ

**43** καὶ ανωχ καὶ ιανα καὶ νασιβ

**44** καὶ κεϊλαμ καὶ ακιεζι καὶ κεζιβ καὶ βαθησαρ καὶ αιλων πόλεις δέκα καὶ αἱ κῶμαι αὐτῶν

**45** ακκαρων καὶ αἱ κῶμαι αὐτῆς καὶ αἱ ἐπαύλεις αὐτῶν

**46** ἀπὸ ακκαρων γεμνα καὶ πᾶσαι ὅσαι εἰσὶν πλησίον ασηδωθ καὶ αἱ κῶμαι αὐτῶν

**47** ασιεδωθ καὶ αἱ κῶμαι αὐτῆς καὶ αἱ ἐπαύλεις αὐτῆς γάζα καὶ αἱ κῶμαι αὐτῆς καὶ αἱ ἐπαύλεις αὐτῆς ἕως τοῦ χειμάρρου αἰγύπτου καὶ ἡ θάλασσα ἡ μεγάλη διορίζει

**48** καὶ ἐν τῇ ὀρεινῇ σαμιρ καὶ ιεθερ καὶ σωχα

**49** καὶ ρεννα καὶ πόλις γραμμάτων αὕτη δαβιρ

**50** καὶ ανων καὶ εσκαιμαν καὶ αισαμ

**51** καὶ γοσομ καὶ χαλου καὶ χαννα πόλεις ἕνδεκα καὶ αἱ κῶμαι αὐτῶν

**52** αιρεμ καὶ ρεμνα καὶ σομα

**53** καὶ ιεμαϊν καὶ βαιθαχου καὶ φακουα

**54** καὶ ευμα καὶ πόλις αρβοκ αὕτη ἐστὶν χεβρων καὶ σωρθ πόλεις ἐννέα καὶ αἱ ἐπαύλεις αὐτῶν

**55** μαωρ καὶ χερμελ καὶ οζιβ καὶ ιταν

**56** καὶ ιαριηλ καὶ ιαρικαμ καὶ ζακαναϊμ

**57** καὶ γαβαα καὶ θαμναθα πόλεις ἐννέα καὶ αἱ κῶμαι αὐτῶν

**58** αλουα καὶ βαιθσουρ καὶ γεδδων

**59** θεκω καὶ εφραθα αὕτη ἐστὶν βαιθλεεμ καὶ φαγωρ καὶ αιταν καὶ κουλον καὶ ταταμ καὶ εωβης καὶ καρεμ καὶ γαλεμ καὶ θεθηρ καὶ μανοχω πόλεις ἕνδεκα καὶ αἱ κῶμαι αὐτῶν

**60** καριαθβααλ αὕτη ἡ πόλις ιαριμ καὶ σωθηβα πόλεις δύο καὶ αἱ ἐπαύλεις αὐτῶν

**61** καὶ βαδδαργις καὶ θαραβααμ καὶ αινων καὶ αιχιοζα


Druckausgabe erzeugt am 02.05.2025 auf bibelkommentare.de

**62** καὶ ναφλαζων καὶ αἱ πόλεις σαδωμ καὶ ανκαδης πόλεις ἑπτὰ καὶ αἱ κῶμαι αὐτῶν

**63** καὶ ὁ ιεβουσαῖος κατῴκει ἐν ιερουσαλημ καὶ οὐκ ἠδυνάσθησαν οἱ υἱοὶ ιουδα ἀπολέσαι αὐτούς καὶ κατῴκησαν οἱ ιεβουσαῖοι ἐν ιερουσαλημ ἕως τῆς ἡμέρας ἐκείνης



Druckausgabe erzeugt am 02.05.2025 auf bibelkommentare.de